§. Ϡμζ΄. Ἔτι τὰ εἰς ωμος δισύλλαβα ὦμος, ὠμὸς, βωμὸς, ψωμός. Πλὴν τῶν ῥηματικῶν. τόμος, δρόμος.

§. Ϡμή. Ἔτι τὰ εἰς ωνα ὑπερδισύλλαβα, βαρύτονα. ματρῶνα, Μαργαρῶνα.

§ Ϡμθ΄. Ἔτι τὰ εἰς ωναξ, ἱππῶναξ, χειρῶναξ.

§. Ϡν΄. Ἔτι τὰ εἰς ωνας. Κλεωνᾶς, Θεωνᾶς.

§. Ϡνά. Ἔτι τὰ εἰς ωνη θηλυκὰ, μὴ ὄντα κύρια, μηδὲ ὀξύτονα. δωδώνη, κορώνη, ῥαςώνη. Πλὴν τȢ περόνη, βελόνη, ἀγχόνη, σφενδόνη, ἀκόνη, ὀθόνη, εὐφρόνη. τὰ δὲ κύρια τῷ μικρῷ. Σωφρόνη Σολομόνη. τὰ δὲ ὀξύτονα, ῥηματικὰ μὲν ὄντα τῷ μεγάλῳ. οἷον, φῶ, φωνή. Πλὴν τȢ ἥδω, ἡδονή. εἰ δὲ κατὰ τροπὴν τȢ ε, τῷ ο μικρῷ. οἷον, μένω, μονή. Παρώνυμα δ᾽ ὄντα τῷ ο μικρῷ. καλλονὴ, χαρμονή.

§. Ϡνβ΄. Ἔτι τὰ εἰς ωνης ἀρσενικὰ, εἰ μὴ καθαρὸν τὸ ω. τελώνης, ἀρχώνης,. εἰ δὲ καθαρὸν, τῷ μικρῷ. Πλὴν τȢ Διώνης.

§. Ϡνγ΄. Ἔτι τὰ εἰς ωνια θηλυκὰ μονογενῆ ῥοδωνιὰ, σκαμμωνία, χερώνια. Πλὴν τῶν ἀπὸ πρωτοτύπȢ παραλήγοντος τῷ μικρῷ. οἷον, εὐτονία, Μακεδονία.

§ Ϡνδ΄. Ἔτι τὰ εἰς ωνιος. Ἀμμώνιος, Ἀντώνιος, παιώνιος, ἡ φαρμακία. Πλὴν τȢ παιόνιος, ὁ ςρατὸς ϗ τῶν ἀπὸ γενικῆς παραληγȢσης τῷ ο. οἷον, μακεδόνιος. Καὶ κηλώνιον δὲ ὁ ἵππος, τῷ μεγάλῳ. κηλόνιον δὲ τὸ γεράνιον, τῷ μικρῷ.

§. Ϡνέ. Ἔτι τὰ εἰς ωνος ὀξύτονα. Τιθωνός.

§. Ϡνς΄. Ἔτι τὰ ἐκ τȢ ὦψ, ὠπός. ἐνώπιον, μετω-